C καλεῖς᾽ ἔφη ʽγάμον καὶ σύνοδον ἀνδρὸς καὶ γυναικός, ἧς
οὐ γέγονεν οὐδ᾽ ἔστιν ἱερωτέρα κατάζευξις;᾽ ʽἀλλὰ ταῦτα
μέν᾽ εἶπεν ὁ Πρωτογένης ʽἀναγκαῖα πρὸς γένεσιν ὄντα
σεμνύνουσιν οὐ φαύλως οἱ νομοθέται καὶ κατευλογοῦσι
πρὸς τοὺς πολλούς· ἀληθινοῦ δ᾽ Ἔρωτος οὐδ᾽ ὁτιοῦν τῇ
γυναικωνίτιδι μέτεστιν, οὐδ᾽ ἐρᾶν ὑμᾶς ἔγωγέ φημι τοὺς
γυναιξὶ προσπεπονθότας ἢ παρθένοις, ὥσπερ οὐδὲ μυῖαι
γάλακτος οὐδὲ μέλιτται κηρίων ἐρῶσιν οὐδὲ σιτευταὶ καὶ
μάγειροι φίλα φρονοῦσι πιαίνοντες ὑπὸ σκότῳ μόσχους
καὶ ὄρνιθας. ἀλλ᾽ ὥσπερ ἐπὶ σιτίον ἄγει καὶ ὄψον ἡ
φύσις μετρίως καὶ ἱκανῶς τὴν ὄρεξιν, ἡ δ᾽ ὑπερβολὴ πάθος
D ἐνεργασαμένη λαιμαργία τις ἢ φιλοψία καλεῖται, οὕτως
ἔνεστι τῇ φύσει τὸ δεῖσθαι τῆς ἀπ᾽ ἀλλήλων ἡδονῆς γυ-
ναῖκας καὶ ἄνδρας, τὴν δ᾽ ἐπὶ τοῦτο κινοῦσαν ὁρμὴν σφο-
δρότητι καὶ ῥώμῃ γενομένην πολλὴν καὶ δυσκάθεκτον
οὐ προσηκόντως Ἔρωτα καλοῦσιν. Ἔρως γὰρ εὐφυοῦς καὶ
νέας ψυχῆς ἁψάμενος εἰς ἀρετὴν διὰ φιλίας τελευτᾷ· ταῖς
δὲ πρὸς γυναῖκας ἐπιθυμίαις ταύταις, ἂν ἄριστα πέσωσιν,
ἡδονὴν περίεστι καρποῦσθαι καὶ ἀπόλαυσιν ὥρας καὶ
σώματος, ὡς ἐμαρτύρησεν Ἀρίστιππος, τῷ κατηγοροῦντι
Λαΐδος πρὸς αὐτὸν ὡς οὐ φιλούσης ἀποκρινάμενος, ὅτι
E καὶ τὸν οἶνον οἴεται καὶ τὸν ἰχθῦν μὴ φιλεῖν αὐτόν, ἀλλ᾽
ἡδέως ἑκατέρῳ χρῆται. τέλος γὰρ ἐπιθυμίας ἡδονὴ καὶ
ἀπόλαυσις· Ἔρως δὲ προσδοκίαν φιλίας ἀποβαλὼν οὐκ
ἐθέλει παραμένειν οὐδὲ θεραπεύειν ἐφ᾽ ὥρᾳ τὸ † λυποῦν